## QVID VNICVIQVE SIT A VITIO SVVM.

*Stultitiæ.*

STultitię verò proprium, prauè de rebus iudicare, prauéque consulere, prauè præsentibus cum rebus congredi, conflictaríque, prauè de iis rebus, quæ in vita bonæ, malæque versantur, sentire est. Comites eius, inscitia, impotentia, ineptitudo sunt, ac obliuio.

*Iracundiæ.*

Iracundiæ verò tria sunt genera: excandescentia, amarulentia, & quædam ex offensa torpescentia. Est autem iracundi hominis, contemptiones, imminutionésve sui, vel minimas, ferre minimè posse, sed ad vindictam, mulctámque statim tendere: itaque & verbo, & re qualibet ad iram perfacilè moueri. Consequitur hanc, concitatis, mobilibúsque in vniuersum vt moribus reddat homines, tum leuissimas vt res cura sua dignas maximè iudicet, eásque propter vt turbetur: quos quidem mores nec constanter, nec diu, sed subitò, ac momento patitur, sustinétq. iracundia.

*Timiditatis.*

Timiditatis autem est, ab vndecunque venientibus terroribus commoueri facilè, iis præsertim, quæ vel mortem ipsam corpori, vel aliquam corpoream orbitatem minentur: tum qualitercúque superesse, seruaríque, quàm præclarè oportere, satius ducere. Sequitur hanc animi mollitia, inuirilitásque, & inertia, ac lucis huius, vitæque tuendæ nimia cupiditas. Subest autem quædã huic cautio, moréſque eius alienos esse à contentione videmus.

*Intemperantiæ, siue proteruitatis.*

Proteruitatis autem, perniciosarum, turpiúmque voluptatum illecebras sectari est, eósque, qui his dediti sunt, felices maximè esse putare, risuque, & salibus, & facetiis gaudere, abundaréque, denique cum rebus, tum verbis supinum, ac dissolutum esse. Comites huius, confusio, & imprudentia, & inuenustas, & negligentia, & contemptus, & dissolutio sunt.

*Incontinentiæ.*

INcontinentiæ verò est, voluptatum illecebras ratione prohibente, & his non potiri nihilo minùs velle: cúmque recta, honestáque, quæ sunt: esse faciẽda statuas, ea voluptatis ergò deserere. Comes incontinentiæ, mollitia, pœnitentiáque est, & omnia ferè, quæ proteruitatem sequuntur.

## ΤΑ ΤΩΝ ΚΑΚΙΩΝ.

Ἀφροσύνης.

Ἀφροσύνης δέ ἐστι, τὸ κρίνειν κακῶς τὰ πράγματα, τὸ βουλεύσασθαι κακῶς, τὸ ὁμιλῆσαι κακῶς, τὸ χρήσασθαι κακῶς τοῖς παροῦσιν ἀγαθοῖς, τὸ ψευδῶς δοξάζειν περὶ τῶν εἰς τὸν βίον καλῶν καὶ ἀγαθῶν. παρακολουθεῖ δὲ τῇ ἀφροσύνῃ ἀπειρία, ἀμαθία, ἀκρασία, ἐπαριστερότης, ἀμνημοσύνη.

B Ὀργιλότητος.

Ὀργιλότητος δέ ἐστιν εἴδη τρία, ἀκροχολία, πικρία, βαρυθυμία. ἔστι δὲ τοῦ ὀργίλου, μὴ δύνασθαι φέρειν, μήτε τὰς μικρὰς ὀλιγωρήσεις, μήτε ἐλαττώσεις· εἶναι δὲ κολαστικὸν, καὶ τιμωρητικὸν, καὶ εὐκίνητον πρὸς ὀργὴν, καὶ ὑπὸ ἔργου, καὶ ὑπὸ λόγου τοῦ τυχόντος. ἀκολουθεῖ δὲ τῇ ὀργιλότητι, τὸ παροξυντικὸν τοῦ ἤθους, καὶ εὐμετάβολον, καὶ ἡ πικρολογία, καὶ τὸ ἐπὶ C μικροῖς λυπεῖσθαι, καὶ τὰ αὐτὰ πάσχειν ταχέως, καὶ παρὰ βραχὺν καιρόν.

Δειλίας.

Δειλίας δέ ἐστι, τὸ ὑπὸ τῶν τυχόντων φόβων εὐκίνητον εἶναι, καὶ μάλιστα τῶν περὶ θάνατον, καὶ τὰς σωματικὰς πηρώσεις, καὶ τὸ ὑπολαμβάνειν κρεῖττον εἶναι ὁπωσοῦν σωθῆναι, ἢ τελευτῆσαι καλῶς. ἀκολουθεῖ, D δὲ τῇ δειλίᾳ, μαλακία, ἀνανδρία, ἀπονία, φιλοψυχία. ὕπεστι δέ τις εὐλάβεια, καὶ τὸ ἀφιλόνεικον τοῦ ἤθους.

Ἀκολασίας.

Ἀκολασίας δέ ἐστι, τὸ αἱρεῖσθαι τὰς ἀπολαύσεις τῶν ἡδονῶν, τῶν βλαβερῶν καὶ αἰσχρῶν, καὶ τὸ ὑπολαμβάνειν εὐδαιμονεῖν, μάλιστα τοὺς ἐν ταῖς τοιαύταις ἡδοναῖς ὄντας, καὶ τὸ φιλο- E γέλοιον εἶναι, καὶ τὸ φιλοσκώπτην, καὶ φιλευτράπελον· καὶ τὸ ῥᾳδιουργὸν εἶναι ἐν τοῖς λόγοις, καὶ ἐν τοῖς ἔργοις. ἀκολουθεῖ δὲ τῇ ἀκολασίᾳ, ἀταξία, ἀναίδεια, ἀκοσμία, τρυφὴ, ῥᾳθυμία, ἀμέλεια, ὀλιγωρία, ἔκλυσις.

Ἀκρασίας.

Ἀκρασίας δέ ἐστι, τὸ κωλύοντος τοῦ λογισμοῦ τὰς ἀπολαύσεις τῶν ἡδονῶν αἱρεῖσθαι, F καὶ τὸ ὑπολαμβάνοντα κρεῖττον εἶναι, μὴ μεταχεῖν μὲν αὐτῶν, μετέχειν δὲ μηδὲν ἧττον· καὶ τὸ οἴεσθαι μὲν δεῖν πράττειν καὶ τὰ καλὰ, καὶ τὰ συμφέροντα, ἀφίστασθαι δὲ αὐτῶν διὰ τὰς ἡδονάς. ἀκολουθεῖ δὲ τῇ ἀκρασίᾳ, μαλακία, καὶ μεταμέλεια, καὶ τὰ πλεῖστα ταὐτὰ, ἃ καὶ τῇ ἀκολασίᾳ.